# ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

Σελίς 818 - 819

(27) (933) (Ἱπποκράτης Δημοκρίτῳ εὖ πράττειν) Ἰητρικῆς τέχνης ὦ Δημόκριτε, κατορθώματα μέν οἱ πολλοί τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινοῦσιν, θεοῖς δέ πολλάκις προσαρῶσιν. ἤν δέ τι φύσις ἀντιπρήξασα ἀπολέσῃ τόν θεραπευόμενον, ἰητρούς καταμέμφονται παρέντες τό θεῖον. καί ἔγωγε δοκέω πλείονα μεμψιμοιρίην ἤ τιμήν κεκληρῶσθαι τήν τέχνην. ἐγώ μέν γάρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι, καί περ ἤδη γηραλέος καθεστώς. οὐδέ γάρ ὁ τῆσδε εὑρετής Ἀσκληπιός, ἀλλά καί αὐτός ἐν πολλοῖς διεφώνησε, καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μέν οὖν ὑπό σέο ἐπισταλεῖσα ἡμῖν ἐπιστολή κατεμέμφετο περί τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μέν οὖν, ὦ Δημόκριτε ὡς μεμηνότα ἐλλεβοριῶν, οὐ καταμαντευσάμενος ὅστις ποτ' εἴης ὡς δ' ἐντυχών ἔγνων, οὐ μά Δία παραφρονήσεως ἔργον, ἀλλά σχεδόν ἀποδοχῆς πάσης, κάρτα σήν φύσιν ἐπήνεσα. ἄριστόν τε φύσεως ἑρμηνευτήν καί κόσμου ἔκρινα, τούς δέ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας, φαρμακείης γάρ αὐτοί ἔχρηζον. ἐπειδή τοίνυν τό αὐτόματον ἡμέας εἰς τό αὐτό συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον καί μεταδιδούς τῶν ὑπό σέο γραφομένων ξυνταγμάτων. ἀπέσταλκα δέ σοι καί αὐτός τόν περί τοῦ ἐλλεβορισμοῦ λόγον ἔῤῥωσο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σελίς 815

βέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας ἐν ἐλλεβόρῳ, ἡ πινυτή μανίη ἂν ἐγεγόνει καί σέο τέχνην κατεμέμψατο, ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην, ἐλλέβορος γάρ ὑγιαίνουσι μέν δοθεὶς ἐπισκοτεῖ διάνοιαν, μεμηνόσι δέ κάρτα ὠφελεῖν εἴωθεν. ᾠήθην γάρ εἰ μή κατειλήφεις με γρά(26)φοντα, ἀνακείμενον δέ ἢ σχεδόν περιπατοῦντα καί προσομιλέοντα ἐμαυτῷ, ὁτέ μέν δυσχεραίνοντα, ὁτέ δέ μειδιῶντα ἐπί τοῖς ἐννοουμένοις ὑπ'ἐμοῖο, καί τοῖς προσομιλέουσι τῶν γνωρίμων, οὐ προσέχοντα, ἐφιστάντα δέ φήν διάνοιαν καί σκεπτόμενον ἐκπάγλως, ᾠήθης ἂν Δημόκριτον, κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων μανίης εἰκόνι ἐοικέναι. χρή οὖν τόν ἰητρόν μέ μόνον ὄψει τά πάθη κρίνειν, ἀλλά καί πρήγματι. τούς τε ῥυθμούς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον, καί πότερον ἄρχοιτο τό πάθος ἢ μεσάζοι ἢ λήγοι, καί διαφορήν καί ὥρην καί ἡλικίην παρατηροῦντα ἰητρεύειν τό πάθος, οὐλομελίην τε τοῦ σκήνεος, ἐκ γάρ τουτέων ἁπάντων εὐχερῶς τήν νοῦσον εὑρήσεις ἀπέσταλκα δέ σοι τόν περί μανίης λόγον. ἔρρωσο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ